# ΙΝΣΤΙΤΟΥΤΟ ΦΙΛΟΣΟΦΙΚΩΝ ΕΡΕΥΝΩΝ

**www.philosophical-research.org**

## Απόστολος Πιερρής


# *Αρχαία Ελληνική Ποίηση για την Σπάρτη: Πώς οι Σπαρτιάτες έβλεπαν τον εαυτόν τους και οι άλλοι Έλληνες τους Σπαρτιάτες*

**(Εκλογή και διόρθωση αποσπασμάτων)**

1/ *σιῶν γ]ὰρ Αἶσα παντῶν*

*χὼ Πόρος] γεραιτάτοι*

(Αλκμάν, Fr. 3. 13-14 Calame, δική μου διόρθωση βασισμένη στον Ahrens (τῶν θιῶν γ]ὰρ), και στον Blass (καὶ Πόρος] γεραιτάτοι) και Zielinski (χὼ Πόρω] γεραιτάτοι)).

2/ *λεπτὰ δ᾽ ἀταρπός, νηλεὴς γ᾽ ἀνάγκα*

(Αλκμάν, Fr. 108 C., άλλαξα το δεύτερο *δ᾽* σε *γ᾽* )

3/ *οὐκ ἦς ἀνὴρ ἀγρεῖος οὐδέ*

*σκαιὸς οὐδὲ παρ' ἀσόφοισιν*

*οὐδὲ Σεσσαλὸς γένος*

*Ἐρυσιχαῖος οὐδὲ ποιμήν,*

*ἀλλὰ Σαρδίων ἀπ' ἀκρᾶν*

(Αλκμάν, Fr. 8 C., ο Αλκμάν για τον εαυτό του)

4/ *πολλάκι δ' ἐν κορυφαἰς ὀρέων, ὅκα*

*σιοῖσι Fάδηι πολύφανος ἑορτά,*

*χρύσιον ἄγγος ἔχοισα μέγαν σκύφον,*

*οἶά τε ποιμένες ἄνδρες ἔχουσιν,*

*χερσὶ λεόντιον ἐν γάλα σεῖσα*

*τυρὸν ἐτύρησας μέγαν ἄτρυφον*

*ἀργιφόεντα*

(Αλκμάν, Fr. 125 C., γράφω *ἀργιφόεντα* με τον Edmonds. Τα χειρόγραφα έχουν *ἀργειφεονται* και *ἀργιφόντα*)

5/ *εὕδουσι δ' ὀρέων κορυφαί τε καὶ φάραγγες*

*πρώονές τε καὶ χαράδραι*

*ὕλα τ' ἑρπετὰ τ' ὅσσα τρέφει μέλαινα γαῖα*

*σῆρες τ' ὀρεσκῷιοι καὶ γένος μελισσᾶν*

*καὶ κνώδαλ' ἐν βένθεσσι πορφυρέας ἁλός·*

*εὕδουσι δ' οἰωνῶν φῦλα τανυπτερύγων*

(Αλκμάν, Fr. 159 C.)

6/ ***ταὶ Πεληάδες γὰρ ἆμιν***

***Ὀρθίαι φᾶρος φεροίσαις***

***νύκτα δι' ἀμβροσίαν ἅτε Σήριον***

***ἄστρον ἀϜηρομέναι μάχονται.***

***οὔτε γάρ τι πορφύρας***

***τόσσος κόρος ὥστ' ἀμύναι,***

***οὔτε ποικίλος δράκων***

***παγχρύσιος, οὐδὲ μίτρα***

***Λυδία, νεανίδων***

***ἰανογλεφάρων ἄγαλμα***

***οὐδὲ ται Ναννῶς κόμαι***

***ἀλλ' οὐδ' Ἀρέτα σιειδής,***

***οὐδὲ Συλακίς τε καὶ Κλεησισήρα***

***ούδ' ἐς Αἰνησιμβρότας ἐνθοῖσα φασεῖς·***

***Ἀσταφίς τε μοι γένοιτο***

***καὶ ποτιγλέποι Φίλυλλα***

***Δαμαρέτα τ' ἐρατά τε Ϝιανθεμίς·***

***ἀλλ' Ἀγησιχόρα με τείρει.***

(Αλκμάν, Fr. 3. 60-77, *από* το Παρθένιον. Γράφω *Ὀρθίᾳι* (στην Ορθία Ἀρτεμη), με τον Bergk και Garzya (*Ϝορθίαι*), αντί *Ὀρθρίαι* (στην θεά του ξημερώματος, την Ηώ) που είναι η γραφή του παπύρου. Αλλά *ορθίαι* έχουν τα Σχόλια Α στην Ιλιάδα Α 13).

7/ ***κλίναι μὲν ἑπτὰ καὶ τόσαι τράπεσδαι***

***μακωνιᾶν ἄρτων ἐπιστεφοίσαι***

***λίνωι τε σασάμωι τε κὴν πελίχναις***

***παίδεσσι χρυσοκόλλας***

(Αλκμάν Fr. 11 C. Γράφω *ἐπιστεφοίσαι,* όπως το κύριο χειρόγραφο A, και *παίδεσσι* με τον Schweighaeuser και τον Hiller, αντί του χειρογραφικού *πέδεστι).*

8/ ***ἤδη παρεξεῖ πυάνιόν τε πολτόν***

***χίδρον τε λευκὸν κηρίναν τ' ὀπώραν***

(Αλκμάν, Fr. 130 C.)

9/ ***σοίναις δὲ καὶ ἐν σιάσοισιν***

***ἀνδρείων παρὰ δαιτυμόνεσσι***

***πρέπει παιᾶνα κατάρχην***

(Αλκμάν, Fr. 129 C.)

10/ ***Ἀφροδίτα μὲν οὐκ ἔστι, μάργος δ' Ἔρως οἷα παῖς παίσδει***

***ἄκρ' ἐπ' ἄνθη καβαίνων, ἅ μή μοι σίγηις, τῶ κυπαιρίσκω***

(Αλκμάν, Fr. 147 C.)

11/ ***ἀμφί μοι αὖτις ἄναχθ' ἑκαταβόλον***

***ἀειδέτω φρήν***

(Τέρπανδρος, Fr. 2 Gostoli)

12/ *ἕρπει γὰρ ἄντα τῶ σιδάρω*
*τὸ καλῶς κισαρίσδην*

(Αλκμάν, Fr 143 C.)

13/ *ἔνθ' αἰχμά τε νέων θάλλει καὶ Μῶσα λίγεια*
*καὶ Δίκα εὐρυάγυια, καλῶν ἐπιτάρροθος ἔργων*

(Τέρπανδρος, Fr. 3 G.)

14/ *ἔνθα βουλαὶ γερόντων*
*καὶ νέων ἀνδρών ἀριστεύοισιν αἰχμαί,*
*και χοροὶ καὶ Μοῖσα και Ἀγλαΐα*

(Πίνδαρος, Fr. 199 Maehler)

15/ *τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα*
*ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον,*
*τὴν δ' αὑτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς*
*πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,*
*πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι*
*παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.*
*ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται*
*χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῃ πενίῃ,*
*αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,*
*πᾶσα δ' ἀτιμίη καὶ κακότης ἕπεται.*

*εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη*
*γίγνεται οὔτ' αἰδὼς οὔτ' ὀπίσω γένεος,*
*θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων*
*θνήισκωμεν ψυχέων μηκέτι φειδόμενοι.*

*ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,*
*μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,*
*ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,*
*μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι·*
*τοὺς δὲ παλαιοτέρους, ὧν ούκέτι γούνατ' ἐλαφρά,*
*μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.*
*αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα*
*κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον*
*ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον*
*θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,*
*αἱματόεντ' αἰδοῖα φίλαισ' ἐν χερσὶν ἔχοντα –*
*αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν –*
*καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,*
*ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·*
*ἀνδράσι ἐν θνητοῖσιν ἰδεῖν ἐρατός τε γυναιξί*
*ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών.*

(Τυρταίος, Fr. 6-7 Prato. Διορθώνω τον προτελευταίο στίχο ακολουθώντας το χειρογραφικό *θνητοῖσιν* και εγκαταλείποντας την αντικατάσταση του Reiske με το *θηητὸς*. Στο χειρόγραφο A έχει προστεθεί εκ των υστέρων πάνω από την γραμμή *μὲν*. Γράφω <*ἐν*> *θνητοῖσιν* με τον Scaliger, και *ἐρατός τε* με τους Brunck και

Francke, αντί του χειρογραφικού *ἐρατὸς δὲ.* – Παραλείπω με τον Brunck και άλλους δυο ακόλουθους στίχους που αποτελούν μεταγενέστερη προσθήκη).

16/ ***ἄγετ' ὦ Σπάρτας εὐάνδρου***

***κοῦροι πατέρων πολιηтᾶν,***

***λαιᾶι μὲν ἴτυν προβάλεσθε,***

***δόρυ δ' εὐτόλμως πάλλοντες,***

***μὴ φειδόμενοι τᾶς ζωᾶς,***

***οὐ γὰρ πάτριον Σπάρται.***

(Αρχαίο Σπαρτιατικό Δημοτικό, Carmina Popularia, Fr. 10 (856) Page )

17/ ***ἄγετ' ὦ Σπάρτας ἔνοπλοι κοῦροι***

***ποτὶ τὰν Ἄρεως κίνασιν.***

(Αρχαίο Σπαρτιατικό Δημοτικό, Carmina Popularia, Fr. 11 (857) Page)

18/ ***καὶ τὸ] μὲν οὐ φατόν ἐστιν ἐ[φημέροις***

***βρο]τῶν τεκέεσσι· σὲ δ'αὖ***

***οὐρανόθεν καταδέρκεται ἀ[έλιος***

***ὄν]τα κάλλιστον ἐπιχθονίων***

***ἀθανάτ]οις ἐναλ[ί]γκιον εἶδο[ς,***

***οὐδ' ὤ]ς ἄλλος οὑτῶς [ἐρατὸν ἄνθος ἥβης ἔχει,***

***οὔτ' ἀν Ἰάονας οὔτ' [ἀν Ἀχαιούς,***

***οὐδ' οἵ κ]υδιάνειραν αἰὲν***

*Λακ]εδαίμονα ναίο[υσιν αγλαόγυιοι κοῦροι*

*τερπόμενοι κούφο]ις τε χοροῖς ἵππο[ισί τε ὠκυθόοις,*

*χαίρουσι τε περ]ᾶν βαθὺν Εὐ-*

*ρώταν, περ]ὶ τ' ἀμφὶ τε θαῦμα [ἰδέσθαι*

*μαλακοὶ τε λειμῶνες καὶ] ἄλσεα λαχνάεντα ἐλ[ατᾶν*

*παρ' ἀρούρας χρυσέας εὐανθεῖς τε κά]πους·*

*ἔνθα παλαι]μοσύναι τε καὶ δρόμωι*

*ἰσχύν τε καὶ ταχ]υτᾶτ' ές ἀγῶν' ἐπασ[κοῦσι*

*κυδίμω]ν πατέρων ἰδήρα[τοι παῖδες,*

*θάλλει δ' αἰχμὰ τε νέων εὐά]νιος*

*καὶ βουλὴ γερόντων μέλει] γε θεῶν παρ', ἔστι δὲ[ παρέστιος*

*ὁμόνοιαν] ἑσσαμένα Θέμις κα[ὶ Μοῦσα μελίρρυτος*

< *καὶ Χάριτες ἁπαλόχροι Φαεννὼ τε Κλήτα τε*>.

(Ίβυκος, Fr. 282A, 22-43 Campbell. Δική μου δοκιμαστική νοηματική αποκατάσταση των σημειουμένων ελλειπόντων για την συνέχεια της απαγγελίας).

19/ *ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων*

*θῆρας αἰνῷ φόβῳ,*

*ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν.*

*ὅ και βαρειᾶν νόσων*

*ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,*

*πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,*

*ἀπόλεμον ἀγαγών*

*ἐς πραπίδας εὐνομίαν,*

*μυχόν τ' ἀμφέπει*

*μαντεῖον·*

*τῷ καὶ Λακεδαίμονι*

*ἐν Ἄργει τε καὶ ζαθέῳ Πύλῳ*

*ἔνασσεν ἀλκάεντας Ἡρακλέος*

*ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμὸν γαρύει*

*ἀπὸ Σπάρτας ἐπήρατον κλέος,*

*ὅθεν γεγενναμένοι*

*ἵκοντο Θήρανδε φῶτες Αἰγεῖδαι,*

*ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ, ἀλλὰ Μοῖρά τις ἄγεν·*

*πολύθυτον ἔρανον*

*ἔνθεν ἀναδεξάμενοι,*

*Ἄπολλον, τεᾷ,*

*Καρνεῖε,*

*ἐν δαιτὶ σεβίζομεν*

*Κυράνας ἀγακτιμέναν πόλιν*

(Πίνδαρος, Πυθιονίκαι, V, 60-81)

20/ *τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,*

*καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεόν*

*εὔφρανας; ἦρα χαλκοκρότου πάρεδρον*

*Δημάτερος ἄνικ' εὐρυχαίταν*

*ἄντειλας Διόνυσον; ἤ χρυσῷ μεσονύκτιον νείφοντα δεξαμένα*

*τὸν φέρτατον θεῶν,*

*ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις*

*σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;*

*ἤ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;*

*ἤ ἀμφ' Ἰόλαον ἱππόμητιν;*

*ἤ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἤ ὅτε καρτερᾶς Ἄδραστον ἐξ ἀλαλᾶς*

*ἄμπεμψας ὀρφανόν*

*μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον;*

*ἤ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ*

*ἔστασας ἐπὶ σφυρῷ*

*Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας*

*Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασιν Πυθίοις;*

*ἀλλὰ παλαιὰ γὰρ*

*εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,*

*ὅ τι μὴ σοφίας ἄωτον ἄκρον*

*κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.*

*κώμαζ' ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ*

*καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ*

*νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφάεις· ἄγει τ' ἀρετὰν*

*οὐκ αἴσχιον φυᾶς.*

*φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,*

…

(Πίνδαρος, Ισθμιονίκαι, VII, 1-19)

21/ *ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ*

*φίλιον ἐξεύρωμεν ὕμνον·*

*τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ*

*Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσε· θέλοντι δὲ Παμφύλου*

*καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι*

*ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ*

*Δωριεῖς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι*

*Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι*

*γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.*

…

*λίσσομαι νεῦσον, Κρονίων, ἥμερον*

*ὄφρα κατ' οἶκον ὁ Φοῖνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ, ναυ-*

*σίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας,*

*οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,*

*ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βάλεθ' ἡλικίαν,*

*Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας. ἀρέομαι*

*πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν*

*μισθόν, ἐν Σπάρτᾳ δ' ἄρα τᾶν πρὸ Κιθαιρῶνος μαχᾶν,*
*ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,*
*παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν*
*Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,*
*τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ,*
*πολεμίων ἀνδρῶν καμόντων.*

(Πίνδαρος, *Πυθιονίκαι*, I, 60-66 71-80b)

22/ *οἵ δὲ τροπαῖα στησάμενοι Διός*
*ἁγνότατον τέμενος, Παιᾶν'*
*ἐκελάδησαν ἰήιον*
*ἄνακτα, σύμμετροι δ' ἐπε-*
*κτύπεον ποδῶν*
*ὑψικρότοις χορείαις.*
*ἀλλ' ὦ χρυσοκίθαριν ἀέ-*
*ξων Μοῦσαν νεοτευχῆ,*
*ἐμοῖς ἔλθ' ἐπίκουρος ὕ-*
*μνοισ ἰήιε Παιάν·*
*ὁ γὰρ μ' εὐγενέτας μακραί-*
*ων Σπάρτας μέγας ἁγεμὼν*
*βρύων ἄνθεσιν ἥβας*
*δονεῖ λαὸς ἐπιφλέγων*
*ἐλᾶι τ' αἴθωνι μώμωι,*
*ὅτι παλαιοτέραν νέοις*

*ὕμνοις Μοῦσαν ἀτιμῶ·*
*ἐγὼ δ' οὔτε νέον τιν' οὔ-*
*τε γεραὸν οὔτ' ἰσήβαν*
*εἴργω τῶνδ' ἑκὰς ὕμνων·*
*τοὺς δὲ μουσοπαλαιολύ-*
*μας, τούτους δ' ἀπερύκω,*
*λωβητῆρας ἀοιδᾶν,*
*κηρύκων λιγυμακροφώ-*
*νων τείνοντας ἰυγάς.*
*πρῶτος ποικιλόμουσον Ὀρ-*
*φεὺς χέλυν ἐτέκνωσεν*
*υἱὸς Καλλιόπας κόρας Διός*
*Πιερίαθεν·*
*Τέρπανδρος δ' ἐπὶ τῶι δέκα*
*ζεῦξε Μοῦσαν ἐν ὠιδαῖς·*
*Λέσβος δ' Αἰολία νιν Ἀν-*
*τίσσαι γείνατο κλεινόν·*
*νῦν δὲ Τιμόθεος μέτροις*
*ρυθμοῖς τ' ἐνδεκακρουμάτοις*
*κίθαριν ἐξανατέλλει,*
*θησαυρὸν πολύυμνον οἴ-*
*ξας Μουσᾶν θαλαμευτόν·*
*Μίλητος δὲ πόλις νιν ἁ*
*Θρέψασ' ἁ δυωδεκατείχεος*

*λαοῦ πρωτέος ἐξ Ἀχαιῶν.*

*ἀλλ' ἑκαταβόλε Πύθι' ἁγνὰν*

*ἔλθοις τάνδε πόλιν σὺν ὄλβῳ,*

*πέμπων ἀπήμονι λαῶι*

*τῶιδ' εἰρήναν θάλλουσαν εὐνομίαι.*

(Τιμόθεος, Πέρσαι, 196-240. Γράφω <*χέλ*>*υν* στο 222 με τον Wilamowitz, *κόρας Διός* στο 223 και *Πιερίαθεν* στο 224 με τον Page)

23/ *Λάκων ὁ τέττιξ εὔτυκος ἐς χορόν*

(Πρατίνας Fr. 2 (709) Page)

24/ *εἰκόνα ἑὰν ἀνέθηκεν ἐπ' ἔργωι τῶιδε ὅτε νικῶν*

*ναυσὶ θοαῖς πέρσεν Κεκροπιδῶν δύναμιν*

*Λύσανδρος, Λακεδαίμονα ἀπόρθητον στεφανώσας*

*Ἑλλάδος ἀκρόπολιν, καλλίχορον πατρίδα.*

*ἐχσάμου ἀμφιρύτου τεῦξε ἐλεγεῖον Ἴων.*

(Ίων, επίγραμμα για τον Λύσανδρο. R. Meiggs – D. Lewis, A Selection of Greek Historical Inscriptions, No. 95c)

25/ *ὅρμαον*

*τῷ κυρσανίῳ, ὦ Μναμοῦνα,*

*τὰν τεὰν μῶαν, ἅτις*

*οἶδεν ἁμὲ τὼς τ' Ἀσαναίως,*

*ὅκα τοὶ μὲν ἐπ' Ἀρταμιτίῳ*

*πρώκροον σιοείκελοι*

*ποττὰ κᾶλα τὼς Μήδως τ' ἐνίκων·*

*ἁμὲ δ' αὖ Λεωνίδας*

*ἆγεν ᾇπερ τὼς κάπρως*

*θάγοντας, οἰῶ, τὸν ὀδόντα·*

*πολὺς δ' ἀμφὶ τὰς γένυας ἀφρὸς ἤνσει,*

*πολὺς δ' ἁμᾶ καττοῖν σκελοῖν ἵετο.*

*ἦν γὰρ τὤνδρες οὐκ ἐλάσσως*

*τᾶς ψάμμω τοὶ Πέρσαι.*

*Ἀγροτέρα σηροκτόνε*

*μόλε δεῦρο, παρσένε σιά,*

*ποττὰς σπονδὰς,*

*ὡς συνέχῃς πολὺν ἁμὲ χρόνον.*

*νῦν δ' αὖ φιλία τ' αἰὲς ἔμπεδος εἴη*

*ταῖς συνθήκαις,*

*καὶ τᾶν αἱμυλᾶν ἀλωπέκων παυσαίμεθα.*

*ὢ δεῦρ' ἴθι, δεῦρ', ὢ κυναγὲ παρσένε.*

*

*Ταΰγετον αὖτ' ἐραννὸν ἐκλιπῶα*

*Μῶα μόλε Λάκαινα πρεπτὸν ἁμὶν*

*κλέωα τὸν Ἀμύκλαις σιὸν*

*καὶ χαλκίοικον Ἀσάναν,*

*Τυνδαρίδας τ' ἀγασώς,*

*τοὶ δὴ παρ' Εὐρώταν ψιάδδοντι.*

*ὢ εἶα μάλ' ἔμβη,*

*ὦ εἶα, κῶφα πάλλων,*

*ὡς Σπάρταν ὑμνίωμες,*

*τᾷ σιῶν χοροὶ μέλοντι*

*καὶ ποδῶν κτύπος,*

*ᾇ δὲ πῶλοι ταὶ κόραι*

*πὰρ τὸν Εὐρώταν*

*ἀμπάλλοντι πυκνὰ ποδοῖν*

*ἀγκονίωαι,*

*ταὶ δὲ κόμαι σείονθ' ᾇπερ Βακχᾶν*

*θυρσαδδωᾶν καὶ παδδωᾶν.*

*ἁγῆται δ' ἁ Λατοῦς παῖς ἁγνὰ*

*χοραγὸς εὐπρεπής.*

*ἀλλ' ἄγε κόμαν παραμπύκιδδε χερὶ ποδοῖν τε πάδη*

*ᾇ τις ἔλαφος,*

*κρότον δ' ἁμᾶ ποίη χορωφελήταν,*

*καὶ τὰν σιὰν αὖ τὰν κρατίσταν χαλκίοικον ὕμνη*

*τὰν πάμμαχον.*

(Αριστοφάνης, Λυσιστράτη, 1247-1271 και 1297-1321. – Στον στίχο 1248 γράφω *τῷ κυρσανίῳ* με τα Σχόλια (ερμηνεύουν *τῷ ἐφήβῳ*), και τον Bergler, αντί της συνήθους μεταβολής του χειρογραφικού *τὼς κυρσανίως* σε *τοῖς κυρσανίοις*. Ο ενικός (όπως *ἁμὲ* 1250 και 1254) αντί πάντων).

23 Αυγούστου 2020